...s homines firma

...ritates pravitates

...retes fortiter.

...es sinus digni

...se sacris V os

...ncere terrea. E

...esse polo. V os

...ius existimet et augeatur nobis
tribuit pervenire subsidium. P. Co
Amen dico vobis quod vos qui Complen.
Da quaesumus domine fidelibus populis omnium
sanctorum tuorum semper veneratione
letari. et eorum perpetua supplicatione
muniri. P. Quaesumus omnipotens deus
ut qui celestia alimenta percepimus
intercedente beato cesario martyre tuo.
per hec contra omnia adversa muni
amur. P. De claudio nycostrato r
Presta quaesumus Col Clamaverunt iusti
omnipotens deus. ut qui gloriosos
martyres tuos claudium nycostratum
symphorianum castorium atque sim...

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215887-p0002-1

29.

# PARAPHRASIS GRAECA
# HISTORIAE DE PASSIONE DOMINI ET SALVATORIS NOSTRI Iesu Christi secundum Matthæum,

*Heroico metro exposita*

*A*

MARTINO ENGELBRECHT Vuernigerodensi, veteris Collegij Ilfeldensis alumno.




Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215887-p0003-6

## *ELEGIA AD. M. E. SVVM, DE EIVS IN χριστοθανατομαχίαν Paraphraſi.*

ESt ne meos etiam, qui vos colat, inter amicos,
Dicite caſtilij turba verenda iugi?
Sic ego: ſic Erato: ſummo Martinus honore
Muſas (de reliquis nil modò dico,) colit.
Quòd ſi fata volent, Phœbo duce, & auſpice Phœbo,
Aequabit ſummum carmine Mæonidem.
Aequabit Rhodiumq́; ſenem, Siculumq́; poetam,
Lucidaq́; excelſum tollet in aſtra caput:
Aſpice ſi dubitas, quæ iam de funere Chriſti
Condidit, Argolico carmina vincta pede.
Omnia nectareo deprendes plena lepôre,
Omnia Phœbei plena decoris erunt.
Illîc & veſtræ celebrantur dona ſalutis,
Vitaq́; terrigenis reddita morte DEI:
Hoc tamen Argolicus planè ignorauit Homerus,
Hoc ipſum & Siculus neſcijt, & Rhodius.
Vsq; adeò noſtro curæ eſt adeoq́; NEANDRO
Detur vt, ad Muſas currere, lata via:
Sic fama eſt gelidis olim Chirona ſub antris:
Sic celebrem iuuenes erudijſſe Linum.
Dic igitur longum valeat Martinus, & vsq;
Sit nobis carus, carus & vsq; patri.
Hæc DEA: ſed longùm valeas, carusq́; ſuperſis
Pieridum patri, Pieridumq́; choro.
Perge etiam tales deinceps emittere verſus,
Quos & Pierides, quos & Apollo probet.
Sic Libitina tuæ nil detrahet impia vitæ,
Sic te perpetuùm fama loquetur anus.
Sed valeas viuasq́; diu, Martine, diuq́;
Sint & fata tuis mollia carminibus.

Theodorus Adamus, eiusdem
Collegij alumnus.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215887-p0004-2

AMPLISSIMIS VIRIS, PIETATE, ERUDITIONE, PRUDENTIA, & usu rerum præstantißimis Dno: Ioanni Linden, Reipubl. Vuernigerodensis COS. Dn. Martino Platnero, eiusdem Secretario: Et Dn. Adamo Börnero, negociationis metallicæ, quæ est Ilsenburgi, præfecto, Dominis suis ac Mecœnatibus, summa obseruantia colendißimis.

QUalis Sisyphides, post mille pericula mortis,
Optavit, patrios posse videre focos,
Finibus à Troiæ rediens, quam marte bilustri,
Aequârat Phrygio claßis Achiva Solo,
Nunc adijt stygios, quos exhibet Orcus, abyssos:
Vt caderet vati victima Tiresiæ,
Nunc maris in Lybicis erravit naufragus vndis
Obfuit Æolij nunc gravis ira DEI:
Talis ego, taliq; mihi conamin quæro,
Carmina queîs essent nostra dicata, viros.
Num quæram ignotos? Non, patria cara sat esto,
Tu modò fac votis, quæ tibi fundo, locum.
Plectra Venusinus Lesboa dicavit Hetrusco,
Non labor ad Pœnos mittere, non Arabes:
Ergo etiam patriæ detur decus, ergo favete,
Sitis & Argolicis portus & aura sonis,

Vos, quibus iſta fero, tenui manantia rivo
Carmina, de letho, de cruce Chriſte tua.
Nec metuam Momi morſus (acuas age dentes
Zoile, carpendus plurimus error erit)
Dum vobis tantùm, quibus hîc confido, placebo
Ac Mecœnatis munia quisq́ꝫ geret,
Attamen haud dubito, quid enim? clementia veſtra
Suadet, apertus amor, candor & ingenuus,
Quæ precor, eveniant: quòd ſi mihi ſenſus aberret,
Et videar tantis diſplicuiſſe viris,
Hoc vnum reprecor, vereor tamen eſſe moleſtus,
Vt placeat ſtudij portio parva mei,
Indefeſſus amor placeat quoq́ꝫ, pectora veſtra
Quo colo, & in terris dum mihi vita, colam.
Gratior ille DEO, qui parvula corde litavit,
Quàm qui magnorum tergora opima boum,
Ergo etiam aſpirate meis audacibus auſis,
Hæc prima eſt manibus texta corona meis.
Sed quid plura? DEO conatus dedico veſtros,
Stamina pòſt vobis longa ſecet Lacheſis.

Martinus Engelbrecht, Iun.

# HISTORIA PASSIONIS DOMINI ac Saluatoris nostri Iesu Christi.

*Apostrophe ad Christũ annexà invocatione.*

Ἀρχόμενος μεδέοντος ἀκροθρόνου, ὀιστράδ' ἀείσω
τλημοσύνην χριστοῖο, καὶ ἀνθρωποσόον οἶτον,
ἡμείων πῶς πολλὰ παθὼν, καὶ πολλὰ μογήσας
εἵνεκα, μυστοπόλοισι γέλως καὶ ὀϊζὺς ἔγεντο,
Ὀψὲ μόροιο λελειμμένος ἅμμασιν ἐγκρατεροῖσιν
Αὖθις ἀνίκητος, τὸ καὶ ὃν μένος οὐδενὶ εἴκων,
εἶρπε παλινδινήτος, τριτοσκέλευθον ἐς ἠῶ
τοὔνεκ' ἐμοὶ πάρστηθι, θεητόκε κοίρανε κόσμου,
καὶ μένος ἱεραοιδὸν ἐνὶ φρεσὶν ἐγγυάλιξον,
ψαικάσσας λιβάδεσσιν ἐμὸν κέαρ εὑρεσιμόλποις,
καὶ ἐνστάζων θεόπνευστον ἔπος, τό κεν ἐξανύσαιμι,
μή πού ἐμοὶ ἀθέμιστον ὑπεκφύγοι ἕρκος ὀδόντων.
σεῦ ἀπάνευθε, πόνος πᾶς ἐστι μάταιος, ἀναλθὴς,
τοῖο γλυκυστέργοις δ' ἐλεημοσύνῃσι πιθήσας,
ἄρξομαι, ἀρχομένην, θεὸς αὖ πόρσυνον ἀοιδήν.

*Passionis initium.*

Ὡς χριστὸς τάδ' ἑελδομένοις μετέειπε μαθηταῖς,
αἶψα θεοπνεύστῳ μὲν ἀείρετο κάρτεϊ θυμὸν,
τοῖος καὶ ἐκ φάρυγος πορθμεύετο θέσκελος ὀμφή:

*Vaticiniũ Christi de morte sua.*

ἴστε φίλοι μύσται, μετὰ διπλόον ἐλθέμεν ἦμαρ
πάσχατος ἀμνόφαγον παμπνευματόεντος ἑορτήν,
Ὠ ἐνὶ παρθενόκουρος ὑπ' ἰλλάσιν ἀμφιδαμασθεὶς,
ἑβραίων κιβδηλονόων, κακὰ πολλὰ τ' ἀνατλὰς
πότμον ἐς οὐλόμενον λελιημένον αὐχένα κάμψει,
καὶ νῦν ἐγγύθι μοὶ θάνατος πέλει, οὐδέ τ' ἄνευθεν,
οὐδ' ἀλέη, οὕτω γὰρ πάλαι πεπρωμένον ἐστί.

*Consilium Sacerdotũ & pharisæorum.*

οὐ δηρὸν μετέπειτα φαρισαίων κακὸς ὄχλος
(εὐσεβέων ὃς ἔμελλεν ἐνικρινθῆναι ὁμίλῳ)
βῆ ῥ' ἴμεν εἰς ἀγορὴν, καὶ ἐκαλέσατο πάντας ἀνελθεῖν
μυστοπόλους νομικοὺς, ζαθέων στόλον ἀρχιερήων,

ἠδὲ Σαδδουκαίους, ἀδικῶν ὑποφήτορας ἔργων,
κρίναθεν κατὰ δῆμον, ὅσοι καὶ ἔμμεν' ἄριστοι.
Ὣς ἄρ' ὁμηγερέες τ' ἐγένοντο, καὶ ἕρκεα φωτῶν
δώματος ἀγρομένων πλῆντο, φρεσὶ βυσσοδόμευσαν
λοίγια καὶ ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,
*Finis concilij principalis.* ὡς Χριστὸς σταυροῖο πετράζυγι σύμπλοκος ἀρθμῷ
ἰλλόμενός τ' ὀλοῇσιν ἀλυκτοπέδῃσι θανείη.
τοῖσ' ἐν ἀγηνορίῃσι δοκησισοφώτατος ἄλλων
ὤρνυτ' ἰδ' αἰσχρολόγοισ' ἀπὸ χείλεσι τὴν χέε φωνήν:
Κέκλυτ' Ἰουδαίων ἡγήτορες, ἠδὲ μέδοντες:
*Induciæ.* τοῦτο νύ μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι:
Χριστόν, ὃς ἀθανάτῳ δέμας αἴσιμον ἔξοχ' ἐῴκει,
ἡσυχίως ἀκίχητον ἐάσσομεν, ἄνδιχα δεσμῶν,
μέσφ' ἱερῆς ἀπέβη μεγαλώνυμον ἦμαρ ἑορτῆς,
μοὶ νόος ἔνδον ἀτύζεται, ἄνκακον, ἄφρονα δῆμον
μή πως λυγρὸς Ἐνυαλίοιο κυδοιμὸς ὄροιτο.
*Christus accumbit in domo Simonis leprosi cum discipulis.* Ἐξότε Βηθανίης διεμέτρεεν οὖδας ἀρούρης
πρηΰς Ἰησοῦς, δῦε καταυτόθι δῶμα Σίμωνος,
οἷο ψωραλέῃ ἐμολύνετο σώματα λέπρῃ,
Χριστοῦ δ' ἀρτιχάρακτα μετ' ἴχνια βαῖνε μαθητῶν
ἑσμὸς ἀριπρεπέων θεομάρτυρος, ἐνθάδε δόρπον
ἐσόρνυντο, λιλαιόμενοι σέο θυμὸν ἀρέσσαι,
θελγήτροισι ἐδητύος ἠδὲ ποτῆτος ἀμυγνοῖς.
*Mulier quidam vngit pedes Iesu.* Οὐ χρόνος ἔνθ' ὑπενήνοθεν εὐρύς, δῖα γυναικῶν
ἠνίδ' ἐυπλοκάμων τις ἐσῆλθε, χερσὶ λαβοῦσα,
ἔμπλειον θυόεντι μύρου ἀλάβαστρον ἐέρσῃ,
καὶ ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
εὐσεβίης μάρτυς, καὶ πίστιος οἰοσόοιο.
τοιάδε ῥεξάσαν δ' ὡς ὀφθαλμοῖσιν ἴδοντο
*Indignantur discipuli.* Χριστοῦ ὀπάονες, ὦκα χόλος φρένας ἀμφικάλυψεν
χωομένας, χαλεποῖσί τε μιν μέμψαντ' ἐπέεσσιν:
ἐξανέχει πῇ τοῦτο περίπλεον ἔργον, ἄμεινον

ὠνητὸν

ὠνητὰ χρυσοῖο μεμηλόσιν ἐμπορίῃσιν
ἐμπαίγ' ἀγλὴν, πενιχροῖσιν ἰδ' ἐκχατέουσιν ὁπάσσαι.
εἰσαΐων τοιαῦτα βροτῶν κεχόλωτο σαωτὴρ,
καί ῥ' ἔμεν ἀγλαὰ ἔργα πιφάσκετο, καὶ ἐσσομένοισιν
ἀμφραδὰ καὶ ἀρίδηλα πελώρης ἀμπλάκα γαίης,
τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη· ἀεὶ ὔμμι πένητες
αἰὲν ἀχρημοσύνῃ δεδμημένοι, ἀλλ' ἀπιόντα
οὔ μ' ἐς ἅπαντα χρόνον, χαλεπῶν ἐπιρωγὴν αἰώνων,
ὄψεσθ' ἀλλὰ χυτῇ χθονὶ τὸ κτερεοῦσιν Ἑβραῖοι
μεῦ δέμας ἁγνὸν, ἐφημερινῶν ὑφ' ἁμαρτάδος ἀνδρῶν,
ταῦτα διηνεκέως μυχάτῳ προὐδείκνυεν ἔργῳ.
νητρεκὲς ἐξερέω ὔμμιν μέγαν ὅρκον ὀμόσσας,
ὅππῃ ἐμοῖο λόγοιο θεογλώσσῳ τινὶ λαιμῷ
δρηστῆρες, ζαθέοιο μελίρροα χεύματα μύθου
κηρύξουσιν, ἅμ' ἠὼ κλέος τῆς θαλλὸν ἀφήσει.

*Iesus obiurgat discipulos. Ratio obiurgationis.*

Δὴ τότ' ἐρασσίδολος τις ἑῶν δυοκαίδεχ' ἑταίρων
πᾶσιν ἐφημίσθη μύσταις κακόχαρτος Ἰούδας
αὐτὸς σκληραύχην τε καὶ αἰσυλόμητις ἀλάστωρ,
μῶλον ὑπὸ σπλάγχνοις θυμαλγέα βυσσοδομεύειν
εὖ δεδαὼς ἀνὰ θυμὸν, ἰδὲ στροφάλιγγα κυδοιμοῦ

*Iudas.*

Δὴ μετέβη θῶκον πῇ οὐλαμὸς ἀρχιερήων,
σκληρὸν ἐγερσιμόρῳ πραπίδας τελχῖνι πυρωθεὶς,
δώματα ναιετάασκεν ἀγάκλυτα, καὶ φάτο μῦθον·
κέκλυτ' Ἰουδαίων προφερέστατοι ὀρθοδίδακτοι,
πηλίκ' ἐνὶ φρεσὶ θυμὸς ἐμοὶ δόμεν εὔχετ' ἄποινα,
καὶ αὐτίκ' ἐμὸν θρεπτῆρα βροτοσσόον ὔμμι προδώσω,
φθείσθω ἀειζώων υἱὸς θεοῦ, αἴσα γὰρ ἐστὶν
αὐτὸν Ἰουδαίης ἐνὶ πείρασι δηϊωθῆναι
καὶ θανάτου κρυεροῖσι κακοῦ βελέεσσι δαμῆναι,
τῷ καὶ μοιστήσασθε ἀπηκριδὸν, ὥς ἐπέοικε.

*Iudas accedit ad sacerdotes et Christum prodit.*

Τοῖς ἄρα θυμὸς ὑπὸ κραδίῃ αἴουσιν ἰάνθη
καὶ τάχα δηναρίων τριοσσὰς ἔστησαν ἀρίστου

*Lucrũ proditionis.*

δώσεμεν

δωσέμεν ἀργυρίου δέκαδας κλεψίφρονι βουλῇ
εὖτ' ἀπὸ τῆς καίροιο τροπῆς, καὶ εὐάδος ὥρης,
ἐρνύμενος μιαροῖς μανιώδεος ἄσθμασι λύσσης,
κηρόθι λευγαλέον βλοσυρὸν τ' ἐξέπλυεν ἰὸν,
ὡς ἱερεῦσι θεὸν, τε καὶ ἡγεμονεῦσι προδοίη,
οὔτ' εὐνῆς ἔμπης μεμελημένος, οὐδέ τι σίτου
πρὶν τάδε αἱματόεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.

*Christus mittit discipulos ad parandum pascha.*

Ὡς δ' ἡ πυρισφαράγοις ἠὼς ῥοδοβόστρυχος ἵπποις
κύματος ἐξανιοῦσα πρὸς ἐννεάκυκλον ὄλυμπον,
δείκνυεν ἀζύμων φρικτὴν καὶ ἐθήμον' ἑορτὴν.
δὴ τότε θεοσόφων στρατὸς ὠφελιεργὸς ὀπηδῶν
χριστὸν ὑποδμήσσων προσφώνεε: σῶτερ ἀπάντων,
πάσχατος ἦμαρ ἀριπρεπὲς εὔποδες ἤγαγον ὧραι,
ποῦ θελέει, ὅθι μηλοφάγοιο μεδώμεθα δόρπου,
φράζεο, ἀπερχόμενοι ἱμειρόμεν ἄρτι πένεσθαι,
τοὺς δ' ἀπομειβόμενος προσέφη θεοσύμβροτος ἥρως:
δεῦτε μολεῖτε τάχιστα πόλιν ποτὶ αἰπυπέραιαν,
μηδ' ὔμμιν θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος,
θεῖος γὰρ νέος πόμπος ἅμ' ἕψεται, ὥς κ' ἰθύνοι
καὶ εἰσόδον ἰθυκέλευθον ἄγοι, ὡς τοιχιοέσσης
ἄστεος ἐντὸς ἵκησθ' ἐπὶ τοίην μέλψατ' ἰωὴν:
Κέκλετ' ἀοσσητὴρ μερόπων, ἐπὶ ξυροῦ ἐόντων,
γεύσασθαι θαλίης τε καὶ ἀμνοφάγοιο τραπέζης,
πὰρ σοὶ βρῶμα, τεῆς μὴ τοὔνεκα φείδεο τέχνης.

*Obedientia discipulorum.*

ὣς φάμενος τάδε πάνθ' ἱερῷ ἐπεπείθετο μύθῳ
ὄχλος ἐρασιθέων μυστῶν, καὶ δαῖτα θάλειαν
τεῦξεν, ἐριζαθέοισι θεοῦ βουλῆσι πιθήσας.

*Celebratur pascha.*

Ὡς λασίαις σμήριγξί τε κάλλεϊ λαμποπρόσωπος
ἕσπερος ἀστροδέδαλτον ἐς οὐρανὸν ἐξεφαάνθη.
ἥλιος κατέδυ πυρόεις, σκιόωντο καὶ ἀγυιαί.
δὴ τότε δόρπον χριστὸς ἔλεσκε τε χριστομαθηταὶ,
τοῖς ἐνὶ κοίρανος ἀλλὰ παροίτατος ἤρχετο μύθων:

εἰσ.

εἰς πέλεθ' ὑμείων, ὅς μ' ἐχθροδοπεῦσι προδώσει.
Ὣς ἄρ' ἔφη, πάντεσσι δ' ἀνήνυτον εἴσατο πρᾶγμα
πρῶτον, ἔπειτα τρόμος σφιν ἄλαστος ἐπήλυθε γυῖα
τάρβησαν τ' αἰνῶς, φίλα γούνατα, καὶ φίλον ἦτορ,
πᾶς δ' ἤ μιν ἐξερέεμεν ἑῷ διζήμονι φωνῇ:
δεῦρ' ἄγε μοὶ τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον
ὃν σατανᾶ κατέμαρψε κακοῦ δασπλῆτις ἐριννὺς,
οἱ θανάτῳ κρυόεντι ἀνέκπλυτον αἶσχος ἀνάψαι
εἵνεχ' ὑπερβασίης, τίς ὀϊζύος αἴτιος ἀνήρ;
ὧδε δ' ἄρα πᾶς εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον.
τοῖσιν χριστὸς λιγυρῶς πεπνυμένος ἀντίον ηὔδα.
πεντόζοις σὺν ἐμοῖσιν ὃς ἄκρου πίνακος ἅπτει,
οὗτος ἔφυ, λαλέω νημερτέα, ἀνδρόμεος φώς,
υἱὸς ἐφημερίοιο γυναικὸς, ὄλεθρον ἀφειδῆ,
λευγαλέους θανάτοιο παθὼν γλωχῖνας, ὑπέξει.
ἀλλ' οὐαὶ ὁ χαμαιγενέων παλαπείριος ἀνδρῶν,
ὅς μιν μισοθέῳ κενεόφρονος ἀχλύϊ λύσσης
ἐχθρῶν χερίσει τανυμήκεϊ δουρὶ δαμέντα
τῷ κακίης ποταμὸς πολυδάκρυτον τέλος ἔσται.
λώϊον αὐτὸν ἑωρκέναι οὐ φάος ἠελίοιο.

*Iesus monstrat discipulis proditorem.*

Ὣς ἔφαθ', ὧδε θεοπροδότης ἠμείβετο μύθῳ:
κύριε λέξον ἐμοὶ, τάδ' ἐμοὶ κακοπρήκτορι θυμῷ
ἔργα μέμηλε; θεὸς δ' ἀπομείβετο: νητρεκὲς εἶπας.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Χριστὸς εὐξέστοιο λιπὼν λῖτα κύκλα τραπέζης
ἀμφιμέμαρπτο γλυκύτροφον ἄρτον, ἐέλδετο δ' εἰπεῖν
πρηϋμέδοντι θεῷ χάριν ὀλβοδοτῆρι σεβαστὴν,
πίονα μαλλοφόρου κ' ἔκλασσεν Ἀλωάδος ἀκτὴν
ἄρτον ὑποτροπάδην, τε μερίσατο διχθὰ μαθηταῖς
εἰπών: λήψατε τοῦτο δέμας σφαχθὲν θ' ἕνεχ' ὑμῶν
ἠδ' ἱεροδμήτοισι θεῷ λειφθὲν παρὰ βωμοῖς,
καὶ φάγετ' αὐτὰρ ἐπεὶ χερσὶν δέπας ἀμφικύπελλον

*Institutio cœnæ Dominicæ.*

εἶλε, πατρὶ ἀπείσαισκε χάριν, μεθυχανδέες ἄλεισον
καὶ ὤρεγ' ὑπωροφίοισι πιεῖν, ὅτε θυμὸς ἀνώγοι.
Ὡς φάτ' ἐπωφελέως, μέγα γὰρ κεχάροντο μαθηταὶ
ἐσθίειν Χριστοῖο δέμας μεροποσσόον, ἠδὲ
πινέμεν αἷμα ῥοδόῤῥοον, ὄφρα πέλοιτο γε δεῖπνος
αἱματοσαρκὸς, ἁγνοῦ μυστήρια κύδιμα Χριστοῦ
αὐγοφόρου δ' ἑκέκαστε θεαεὶ πνεύματος ἀλκῇ.
καὶ μῦθον κατέχευε μελίφρονος αἰθερεῶνος:
οὐκέτ' ἐγὼ ἐρικυδέα ἐς τεύχεα χεῖλος ἐρείδων,
δίψαν ἀποσβέσσω ἀπὸ βότρυος οἰνοδοτείρας:
εἰσόκε νοστήσω ῥυστήριος ἔργα τελέσσας
λύτρου, ἅμ' ὔμμι πιοῦμαι ἀμοιβαίοισι κυπέλλοις,
πατρὸς ὑπερμεγέθεω ἐν ἀπερμάντῳ βασιλείῃ
ἧχι φάος τε κλέος τε, κακῶν τ' ἄμπνευσις ἁπάντων.
Αὐτὰρ ἔθ' ἡδὺ μέλος ζαθέης κελαδήμασι γλώττης
*Finita cœna abiit cũ discipulis in montẽ oliuarum.*
Χριστὸς κλαγξήσας γανυρηχέα μέλψεν ἰωήν.
ἐκδ' ἴσαν οὖρος ἐλαιοφόρον ποτὶ ὑψινόμηκες,
ἐνθάδε κῆπος ἔην χλοοδαίδαλος, εἰαροθαλλής,
δὴ Χριστὸς τοῖον ποτὶ μῦθον ἔειπε μαθητάς:
πρὶν πάλιν ἠριγένεια φόως μερόπεσσιν ἰάλλῃ,
νύκτα δὲ ἐσσομένην σφαλερότερον ὔμμιν ἐνέσται
*Christus prædicit offendiculum futurũ brevi.*
σκάνδαλον ὡς γὰρ ἐν εὐφράστοις σελίδεσσι Προφήτεων
πέπρωται: Σκεδάσω ὁ κατ' οὔρεα μακρὰ, κατ' ὕλην
ποιμένα, καλλιτρίχων βόσκει καλὰ πώεα μήλων,
αὐτὰρ ἔπειτα ταφῆθεν ἐγὼ νεόγλυπτον ἐάσας
τύμβον, ἀναζήσω παλινάγρετος ἔκτοθι κόλπων
ἐνδομύχων χθονὸς, εἰς Γαλιλαιίδος οὔδας ἀρούρης
ὔμμας ἐπιπρομολών. Πέτρος δ' ἠμείβετο μύθῳ:
Τοὔνεκα μὴ τάχα δ' ἄμμε διαῤῥαίσαντος οἴω,
*Confidentia Petri.*
αἶσχος σκανδαλόεργον ἅπαντας καίπερ ἱκάνοι,
οὐδέ ποτ' ἐκτελέσω ταῦτ' ἄφρονα, πρὸς ὁμαρτέων
ὦ ἄνα, παμμέγα σῇ ἀρετῇ ἐνὶ κάρτος ἀέξω,

τοὔνεκα

τοὔνεκα νῦν οὐδ' εἴκεν ἀέθλους ἐς θανάτοιο
στελλοίμην, ἔτι τάρβος ἀνάψομαι ἀσυφέλικτος,
πιστὸς ἐν οὐλομένοισι τύχης κύκλοις, κακὸν αἰεὶ
σεῦ ἀπαλαξήσαιμι (φίλῳ ἢ σὲ ἀνδρὶ ἐΐσκω)
ἀνδρ' ἀπομυώσασθαι ὅστις πρόσπερος χαλεπήνῃ. *Reprehenditur Petrus à Christo ob nimiam confidentiam.*
Τὸν μένεα πνείοντ' ἀπαμείβετο, φώνησέν τε:
πρὶν μέλος ὀξυμελὴς ἔο μαρτυρόφωνον ἀλέκτωρ
ἐκχεύσῃ ἀναειρόμενος πάλιν εὔτριχα δειρήν,
τριοσάκις οὔνομ' ἐμὸν, δείσας βροτοῦ ἀνδρὸς ὁμοκλήν,
ἀμφαδὸν ἀπαρνήσῃ, καὶ θήσεις πάμπαν ἄδηλον.
Ὡς ἐπικερτομέων θρασύδειλον ἐρύκετο Πέτρον,
ὃν τούτων μετόπισθεν ἐλώφεεν αὐτίκα μύθων,
οὐ πρῶτο συνάρμονα σοῖς ἐπέεσσι τελέσσαι.
Οἱ δ' ἐπεὶ οὖν σεσοφισμένοι ἄστεος ἐκτὸς ἔβησαν,
οὖδας ἐς εὐχλοερὸν καὶ χωρίον εὔδροσον ἦλθον,
Γεθσεμανὴν τόδ' ἅπαντες ἐπίκλησιν καλέουσιν *Gethsemane.*
ἐνναέται, Κεδρήϊον ἄλσος ἐπεῖθι πεφύκει.
τοὺς πρόσπερος Χριστὸς προσφώνεεν, ἠδ' ἀγόρευεν:
ὑμνοπόλοι στῆτ' ἄνδρες, ἕως μὲν ἀποπρόθ' ἀπελθὼν
εὐχῆς γουνάσαιμι ἐμὸν γενετῆρα γλυκίστης.
βῆ δ' ἰέναι, μετέπειτα θεόσσυτα χείλεα λύσας,
ὑψιμέδοντι τελήεσσας εὐχῶν ἑκατόμβας,
βυσσόθεν ἐκ κραδίης σπείσασκεν, ἰδ' ἔκφατο μῦθον:
Παντοδυνάστα πάτερ, πετάσας ἀερηκόον οὖας, *Precatio Christi.*
κλῦθι μευ εὐχομένου, καὶ φρεσὶ πανίλαος εἴης,
μευ θανάτου ψυχὴν κρυόεντος κέντρον ἐλαύνει,
κύντατον ἄλγος ἐμὸν, καὶ ἀπὸ σεῦ μὲ λελεῖφθαι οἴω,
εἰ θέμις ἐστὶ ποτήριον ὡς βαρυπληθὲς ἄγευστον
τλαίω, δὸς πάτερ ἄμβροτε, μοὶ σῶς αἰπὺς ὄλεθρος- *Somnolentia & securitas Discipulorum.*
τοῦτο γὰρ εἴ νυ τι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω,
σεῖο γένοιτο θέλημ' ἀριδείκετον, ἀξιόπρηκτον.
Δὴ βαθὺς ὕπνος ἐνὶ βλεφάροισιν ἔπιπτεν ὀπηδοῖς,

ἀλλ'

ἀλλ' οὐχὶ Χριστὸν σωσίμβροτον ὕπνος ἔμαρπτεν,
ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως θανατόνδε προσέλθοι.
ἐνδὲ ὀϊζυρῶς φιλικὸν τετιημένος ἦτορ,
σὸν γενέτην σεμνῆς εὐχῶν μάλθαξε προσευχῆς,
καὶ παλίνορσος ἑκούσιον ἴχνος ἔκαμψεν ὁδοῖο
σμικρῆς, εὗρε διάκτορον ἑσμὸν ἄκαιρα μαθητῶν,
ὀῤῥα μὲν ἔνθα καθεῦδε καὶ ἐείσατο κοιμηθῆναι.

*Iesus reprehendit discipulos.*

τοὺς κεχολωτοῖσιν βάζεσκ' ἐνέπων ἐπέεσσιν:
τίπτ' οὔνεσθε μὲ, ὃς μάλα κήδεα μύρια πέσσω:
τίπτ' ὕπνος μέλιτος γλυκίων βλεφάροισιν ἐφίζει;
νῦν γὰρ ἦλθε χρόνος (φράδεος νόου ἔργα τέτυκται)
ᾧ ἐνὶ ὕπνος εὖς μέγα σίνεται, οὐδ' ὀνήσι-
γρηγορίαις γὰρ παρισταμένην θέμις ὕβριν ἐρύκειν
καὶ κακὸν, ὅττι δέδοικα καὶ αἰδέομαι περὶ κηρί,
σπένδετε λυσαχθέων λιτανεύματα χρηστὰ λιτάων,

*Mala imminentia ob securitatem.*

μή ποτε νῶϊ θυμὸν θρασὺν ἀμφὶ δίηται ὄλεθρος,
χ' ἡμέας εἰσαγάγοι πειρασμὸν ἐς αἰνομέριμνον
θάρσος ἐκεῖνο, καὶ ἡμετέρας φρένας ἠπεροπεύοι.
τῇ τριτάτῃ γὰρ παλιρροθίην λιτάνευσε προσευξιν.
ὀχθήσας γ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν:
ὤ μοι ἐγὼ τί πάθω; τί νυ μοι μήκιστα γένηται,
δύσμορος αἰνόμορον θ' ὡς μὴ ὤφελλε θανέσθαι,
ἄγχι παρέστηκεν θάνατος, καὶ μοῖρα κραταιὴ,
εἵνεχ' ἁμαρτοσύνης μερόπων (φεῦ πενθάδος ἄτης)
Ἔμπαλιν εὑρόμενος βαρὺ νεικείεσκε μαθητὰς,
ἠδ' ἔφατ' οὔ νυ τί γ' ὔμμι μέλει κακὸν, εὕδετ' ἔθ' οἷον
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεὶ νῦν ἀγγόθ' ἐπῆλθον,
ὅσσα βίβλοις ἐνὶ νέκταρ ἀμελγομένοισι τυπώθη
θεῖον, ἵν' ἀντιπάλοις πεπεδημένος ἰλλάσι δεσμῶν,
Χριστὸς ἀνετλήσατε μόροιο φερέστατον οἶτον,
θαρσαλέοισιν Ἰουδαίων ὑπὸ ποσὶ δαμασθείς.
ἄστατε, κίομεν ἔνθεν, ὅδ' ἤγγικεν Ἰσκαριώτης,

ὃς δό-

ὅς δόσιν ἔλλαβεν αὐτομάτην κακοκερδέϊ μισθῷ,
ὥς με σοφίσῃσιν κιβδηλονόοισι προδοίη,
οἷσι θυηπολίαι καὶ ἀεσίφρονα ἔργα μέμηλεν.

Καὶ μόλις ὀμβροθέοισιν ἀνήρυγε χείλεσι φωνήν,

*Aduentus Iudæ cum militibus & cohorte Sacerdotum.*

ἠνὶ δολοπλόκος Ἰσχάριος προσέκαμψε πορείην
καὶ στρατιῆς θρασυκάρδιος, ἐγχεσίφορτος ὅμιλος
τεύχεσι καὶ ῥοπάλοισι βαρυνόμενος σιβαροῖσι
ἄλλος ἔφειλεν ἑαῖς γυμνὰς ἐνὶ χερσὶ μαχαίρας,
ἄλλος ὑπεξαναβὰς ἐπινάξατο δούρατος ἀκμάς,
ὥσπερ ἐνὶ πολέμῳ τε καὶ αἰνῇ δηϊοτῆτι.
ἢ ἐν ἀκωκαῖς πάντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσιν
τοίσδεχων σημεῖον ἔδωκε πρὸτ᾽ Ἰσκαριώτης,
καὶ φάθ᾽: ὃ αἰσχρολόγοισιν ἐγὼ νῦν χείλεσι θλίψω
χείλεα, τὸν βροτομαρπέσι χερσὶν ἕλεσθε, γὰρ ἐστὶν.

Ὡς Χριστὸν προθορὼν ἴδεν ἐχεμύθοισιν ἔπεσσιν

*Osculum Iudæ.*

πέφραδε: χαῖρε πάλαι Ῥαββὶν κακοθαρσέϊ λαιμῷ
καὶ οἱ ἔκυσε γνάθον γλυκύμαλον, ἀληθὲς ἴδ᾽ ἀνδρὶ
μαινομένῳ ἤικτο, ὑπαὶ φρεσὶ μαινομένῃσιν.
ἐξαπίνης χαλεπῶν οὐ νήϊδες ἄνδρες ἀέθλων

*Milites irruũt in Iesum.*

ἀπερχόμενοι ἀγεληδὸν ἑλίσσονται περὶ Χριστὸν,
ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ᾽ ὄπισθεν,
καί μιν ἑλεῖν μενέαινεν ἀναίτιον, ὃν μὲν ἴδοιεν,

*Vincula Christi.*

καδδ᾽ ἄρ᾽ ἕκαστος ἐμήσατο κήδεα στήθεσι λυγρὰ
ὀψὲ παρερχομένοισιν ἐπερχομένοισιν ἐτύχθη
ἱλλόμενος, καὶ χεῖρας ὀπισθοτόνοισι λεπάδνοις
δῆσαν, ὅπως ὀδύνην ἄνσχοιτο μόρου καὶ αἴνην.

*Petrǫ amputauit dexterã aurẽ Malcho.*

Πέτρος δ᾽ ὁ θρασύδειλος ἐρυσσάμενος θοὸν ἄορ
Ἀρχιερῆος ἔκοψεν ὀπάονι δεξιὸν οὖας.

Τόσσα πόνων πίκραινε νόον καὶ θυμὸν Ἰησοῦ,

*Christus irascitur Petro ob audaciã inportunam*

ὃς μέμψασκε μιν ἀξιομεμφέα, βομβάδι φωνῇ:
Πέτρε τεὸν ξίφος ἐς βόθρον κολεοῖο χανόντος
ἐξαῦθις ἀπόκρυψον ἐπιβρίσας δαμάσθε.

εἴ τις ἀθῶον, ἀϊστώσειε καὶ ἀεικέσι πληγαῖς,
τὸν καὶ αὖθις θάνατος μενέει, καὶ πότμος ἀδευκής,
ἢ δίχα θυμὸν ἔχεις, ἐμέθεν πατρὸν ἰφιμέδοντα,
εὐχωλῇς μεγαλωσὶ κεκασμένον ἡμετέρῃσιν,
αἰθερίης χραισμησικάκους στρατιῆς λεγεῶνας,
πεμψέμεναι δυνάσαι, ἀλκῆς ἐπιδευέας οὐχί,
μὴ γὰρ πασιμέδοντι γ' ἐρίσσειε βροτὸς ἀνήρ.
φάρμακα πῶς μερόπων ἱερόγλυφα βιβλία ψυχῶν
πληρωθῶσιν ἐμῷ στονόεντί τε πενθάδι πότμῳ.

*Christus expostulat cũ militibus.*

Ὣς φάτο καὶ τοῖον στρατιῇ πρὸς μῦθον ἔειπεν,
οἷος καὶ ἔμπεδον ἦτορ ἔχεν, κρατεραλκέϊ θυμῷ·
τίπτ' ἤλθεσκες ἐμὸν φοβεροὶ ὀλοόφρονες ἄνδρες,
αὐχένα θεῖον ἀλυκτοπέδῃσι πιεζέμεν αἰνοῖς,
οἷα πρὸς ἀνδρολέτην ἄνδρα στυγερόφρονι τόλμῃ,
ᾧ μέγα τολμήσαντι φόνος κακά τ' ἔργα μέμηλεν·
ὄρρα πανημαδὸν ἔσκον ἐν ἱεροχανδέϊ ναῷ,
φερβόμενος θεϊκῆς διδαχαῖς κλυτὰ πώεα ποίμνης,
σωσιβρότοις τε λόγων κηρύγμασιν ὀρθοδιδάκτων,
οὐδέ τις ὑμείων ἔτλη ἐμοὶ ἀντιάασθαι.

*Fuga discipulorũ.*

Καὶ τότε καρπαλίμως τρομεροὶ ἀφίκοντο μαθηταὶ
κοίρανον ἠδ' ἐχθροῖσιν ἐναντιόωντα λίποντο,
ὃς μὲν ἔεργτο κακοῖς φανερῶς κατὰ σώματα δεσμοῖς.

*Christus abducitur primùm in domũ Caiphæ pontificis.*

αὐτὰρ ἐπεὶ ἀφίκανον ἐς οἰκίον Ἀρχιερῆος,
ἧχι φαρισσαίων στρατὸς ἀίσυλος ἐδριόωντο,
εἷς ἐν ἀγειρομένων, πᾶς δύσθεα μήσατο ἔργα.
Πέτρος δ' ὡμάρτησεν ὀπισθοτέροισι κελεύθοις.
εἰσόκε μυστοπόλῆος ἐσήλυθε κυδάλιμον δῶ
Καϊάφα, σκολιῇσι δίκης ὃς μὲν στίχας ἀνδρῶν
κρίνατ' ἰδ' Ἑβραίων ἱερεὺς ὡς πέτο δήμῳ.

*Petrus pedetentim sequitur.*

Εἰσελθὼν δὲ Πέτρος βλοσυροῖσι παρέζετο δούλοις,
αἱματόεντος ἀμαιμάκετον θορύβοιο πλαστὴν
εἰσορόων, ἅμα δ' οἱ λύτο γούνατα, καὶ φίλον ἦτορ.

ἀλλ'

Ἀλλ' ἀσόφων ἀσύφηλα καρήατα μυστοπολήων,
καὶ νομικοὶ, καὶ ἀγειρομένων ὅλος ἄλλοδος ὄχλος.
Χριστῷ ἔκρυψε δόλον, καὶ ἐμήσατο κήδεα λυγρὰ
διγλώσσοις ἑτερόφροσι μαρτυρίοισι δαμάσσαι.
καὶ στρέσαι πρὸς ὄλεθρον, ἀμειλιχοπήμονα πιμπλὴν,
ἀλλ' οὐδ' εἰς θανάτοιο δυσηχέος ἄξιον εὗρεν
καδδὲ γέλως ἐγένοντο πρόπασιν θυιάδι λύσσῃ.

*Insidiæ Christo struũtur frustra.*

Ὀψὲ ἵκοντο δύω νόον ἀλλοπρόσαλλον ἔχοντε,
ἄμφω μαρτυρίοιο δαήμονε φῶτε κακοῖο,
ὡς φάμενοι· ὁ δὲ κρυπτόδολος λαοῖο διώκτης,
στεῦτο μάλ' εὐχόμενός γ' ἀλαπαξέμεν ἠθάδι τόλμῃ,
ἀντ' ἀπάνευθε μάχης, θεοτερπέα δώματα νηοῦ,
ὃν Σαλομῶν ποίησε λίθων χρυσιέμπυγι κόσμῳ,
ἤμασι δὲ τριτάτῳ προτέρην βαλβῖδα ὑφαίνειν,
Ἀρχιερεὺς αἴων τῶ μιν μαστεύσετο μύθῳ·
οὐδὲ σὺ ἀντιπάλοις ἕνα μῦθον ἐναντίον εἴπῃς;
ταῦτα δ' ἀκηρύκτῳ δ' ἐκαλύψατο φάρει σιγῆς,
οὐδ' ἱεροῦ ἐπεπείθετ' ἐφημοσύνῃσι τυράννου
Χριστὸς, μυστοπολεὺς τοίην δ' ἀνενείκατο φωνήν·
νῦν σ' ἐξορκίζω μεγάλου διὰ νεῦμα Θεοῖο
εἰπὲ, πέλεις εἰ Χριστὸς ἐρισθενέος πατρὸς υἱεύς;

*Duo testes pseudologi cõtra Christum.*

*Christi taciturnitas.*

*Interrogatio pontificis.*

Ὣς φάτο· τὸν δὲ Χριστὸς ἀμείβετο κύδιμος ἥρως·
ἀτρεκὲς εἶπας, ἐγὼ σοὶ δ' ἀτρεκὲς αὖθις ἐνίψω·
καὶ μέχρι τῶν ὄψεσθε περιπλομένων ἐνιαυτῶν
υἱὸν ἀπειράνδροιο γυναικὸς, θνητογένητον
οὐρανόθεν κατιόντ' ἐν ἑῇ κλυτοεργέϊ δόξῃ,
ζωοὺς κρινέμεν ἀνθρώπους, κατατεθναότας τε.

*Responsio Christi.*

Αὐτὰρ ὁ Ἀρχιερεὺς νοερὸν τὸν μῦθον ἀκούσας,
ἀσπερχὲς μενέαινε, διέσχισε τ' ἀγλαὸν εἷμα,
εἰπών· βλασφήμησε Θεὸν πανάκαιρα πιφάσκων,
μαρτυρίοις πλεόεσι τί νῶν χρέος αἰτιάσασθαι;
τεθναίη, στόματος τότε πάντες ὁμόφρονι ῥιπῇ

*Christus damnatur indicta causa.*

τοίην

τοίην ἐξέχεον μανιώδεα λυσσάδα φωνήν·
ἄξιός ἐστι μόρου, θανάτῳ τ' ἔνοχος δολόεντι.

*Cõspuitur.* καὶ ἐξ ὁμόθεν πτύελόν κεν ἀπέπτυον ἀφρὸν ὀδόντων,
εἰς Χριστοῦ ἀμίαντον ἰδὲ ἁγνοπρόσωπον ὀπωπήν,
*Colaphisca ditur.* καὶ γνάθον ἠγαθέην κακοθαρσέϊ χειρὶ πάταξαν,
πολλῶν τ' αἰθερέων βαθυκέρτομα χεύατο φωνήν,
καὶ ὡς ἔφατ' ὕμμι νυ τι προγνωστίδι μαντίδι λαιμῷ
φάθι, σοὶ τίς παλάμῃ πρόσαισκε παρηΐδα χειρός.

Τόφρα δὲ Πέτρος ἔμιμνε, μέγ' ἀχνύμενος κέαρ ἔνδον
*Petrus interrogatur de Christo.* αὐλῆς καὶ ἐντὸς ἐφεζόμενος, τὴν ἰδοῦσα μετηύδα
δμωΐς, θαρσαλέῃσι κακὰ φρονέουσα φρενέσσιν,
καὶ Χριστοῦ σὺ συνέμπορος ἔσσ' ὁμόδημος Ἰησοῦ,
ὃν Γαλιλαῖον ἀπὸ πατρίδος χθονὸς ἠυδάξαντο.

*Petrus negat Christum.* Αὐτὰρ ὁ Πέτρος ἀμοιβαδὸν εἶπεν ἔπος τ' ὀνόμαζε·
οὐκ οἶδ' ὅ,ττι λέγεις, καὶ ἠρνήσατο Χριστὸν Ἰησοῦν.
ἐξελθὼν δ' ἐκτὸς ποτὶ αὐχήεντα πυλῶνα,
δὴ ἄλλη θεράπαιν' αὐτὸν προσεβλέψατο τοίοις
κεντροφόροις ἐπέεσσι παραστάδα λαὸν ἀμέλγων·
καὶ σὺ πέλεις, ὃν ἔδεκτο πάρος Ναζαραῖος Ἰησοῦς.
αὐτὰρ μαρτυρίοισιν ἑκὼν ἐπίορκον ὀμόσσας
*Petri periurium.* ψεύσατο νήκεστον, μὴ ἐμοὶ δῆλος βροτὸς οὗτος.

καὶ ταχύγουνον ἔδειξε χρόνον παυρίτροχον ἦμαρ,
τὶς ζηλημοσύνῃσι νόου ἐξαῦθις ἀνέστη,
ὡς εἰπών· Χριστοῦ σὺ καὶ ὁμοπτολίεθρος ἐτύχθης,
ὅσσα δ' ἀπὸ γλώττης ῥέεται, σέο πατρίδα δείκνυ.
καὶ ὤμασε καρτερὸν ὅρκον ἀναιδείηφι πιθήσας.
αὐτίκα κόκκυζεν λίγα μαρτυρόφωνος ἀλέκτωρ.
*Petri pœnitentia.* ἐμνήσθη δὲ Πέτρος τάχα ῥήματος ὑψιμέδοντος,
καὶ οἱ ἐνὶ στήθεσσι κατεκλάσθη φίλον ἦτορ,
χεύατο ἀμφὶ δὲ δάκρυ παρειάσιν οἱ ἁπαλῇσιν.

*Concilium matutinū* Αὐτὰρ ἐπεὶ σπινθῆρσι φάνη Τιθωνιὰς ἠὼς
γηραλέον προλιποῦσα λέχος, θαλαμηπόλον εὐνήν

ὡς μὲν

ὡς μὲν ἐπεὶ πρωΐη, χρυσώνυχας εὔποδας ἵππους
ἀντολίηθεν, ἀέλλοες εὖτ' ἐγένονθ' ἱερῆες, *Sacerdotũ & Pharisæorum in domo Pilati de Christo interficiẽdo.*
πρεσβύτεροι λαοῦ τε, πρὸς ἡνία κυώτατα μαύδρης,
ψῆφον ὁμοφρονέοντα φερέμμεν, ἄνακτι προπάντων,
ἀλλὰ βαθυσπήλυγγι κεκριμμένον ἐν φυλακῆφι
Χριστὸν, ἀπήγαγον ἡγεμονῆι καὶ αἱματοδίψῳ
μιν παρέδωκεν, ὃς ἐκλήθη Πιλάτος. δολερὸς γὰρ
ὀψινόῳ φρονέων κακὸν Ισκάριος μετανοίῃ,
ὅττι πάρος ῥέζεσκεν ἑῷ κακοκερδέϊ θάρσει,
(ἔργον ἐπεὶ μὴ ὁμορρεθέει ζαθέης σελίδεσσι)
ἐξαπίνης ἱερῆας ἀνήϊε, πρὸς μεθέποντας
ἡγεσίην ἀγέλης Εβραΐδος ἄστυ καθ' ἱρὸν,
ἀργύρεα τριάκοντα σφίσιν τε φέρεσκε συνηθείς,
Ὡς εἰπών: ἄφατον κακὸν ἀμφαδὸν ἐξελέγχουσα,
αἰεὶ γὰρ συνόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω,
ἐξότε τὸ πρώτιστον ἐμὸν σωτῆρα προδώσας,
εἰς θανάτου μεθέηκα τανυγλώχινας ὀϊστοὺς,
οὐδέ τις ἄλλος ὑπαίτιος ἔπλετο ὅσσον ἐγώνη,
νῦν θέμις ἐστὶν ἐμοὶ τὸ πάρος κακότητα πελάσσαι.
πῶς γὰρ κεν Θεὸν ἀνθρώπων λελάθοιμι τοκῆα;
τίς μερόπων μοὶ εὐφροσύνη; τίς κ' ἔσσετ' ἀρωγή;
δύσμορος, ὤ μοι ἐμῆς ἄτης, καὶ ὀδυρόμενος κῆρ,
νηοπόλου μεγάροιο διέσσυτο μαινάδι ἶσος,
ὑψηλῷ ῥυπαρὸν ταχὺ ἐπισφίγξασκε τράχηλον *Judas suspendit se.*
δενδρέῳ, οἱ δὲ ἐάγη ἐξ ἀστραγάλων θρασὺς αὐχὴν
ψυχὴ δ' εἰς Ἀχέροντος, ἀεὶ φλεγέθοντα κάμινον
βληθήσθη, ἀγάθησι Θεοῖο δίκησι δικαίου.
οὕτω μὴ θέμις ἐστὶ Θεοῦ νόον ἐξαλέασθαι.
εὖ γὰρ ἀλιτρονόους πινυτὸς Θεὸς οἶδε δικάσσαι.
Ἐξότε καγχαλόωντες ἀνὰ φρένας Ἀρχιερῆες
ἀργυρέοιο χ' ἑτοῖμα προκείμενα δῶρα λαβόντες,
αὖθις ἐώνηθεν κεραμῆος πίονα βῶλον,

τοὔνεκα καὶ μετέπειτ' ἀγρὸς αἵματος ἐξονομάσθη.
Ἰησοῦς δ' ἄρα στὰς κατ' ἐναντίον ἡγεμονῆος,
πευθομένῳ ὑπ' ἐπικρατέως ἀπεκρίνετο λαῷ.
Πόντιος εἰρόμενος, φιλοπευθέ' ἱρήξατο φωνὴν:
Ἰσραηλογενέων εἶ τύνη κοίρανος ἀνδρῶν;
τοῦτ' ὀχετηγῷ ἐμοὶ κατάλεξον ἀμοιβάδι φωνῇ:
*Christi confeßio.* εἶπας, ἐγὼ βασιλεὺς τελέθω πολυλήϊος ἀνδρῶν
ζωοδότης, βροτέης ἄλκαρ τριπόθητον ἀνίης,
ἐγκληθεὶς δ' ἀνέῳ τετληκὼς ἕζετο Χριστὸς.
Τὸν δ' αὖθις Πιλάτος προσέειπε μὲν ἀγκυλομήτης.
τίς χόλος ἢ στυφελισμὸς, ὅτ' οὐδενὶ μῦθον ἐνίσπεις
οἳ σοὶ μαρτυρέουσι βρύχημα χέουσι βέβηλοι,
*Christi constantia* αὐτὰρ ἀκινήτως ἀκλινεῖ ἵστατο μορφῇ,
καὶ μάλα θαρσαλέως πάντων ὑπεδέξαθ' ὁμοκλὴν.
τοῦθ' ὁρόων Πιλάτος σφαλερῷ θηήσατο θυμῷ.
*Mos Iudæorum de captiuis.* Αὐτὰρ ὅτ' ἠριγένεια σοφὴν ἐπεδείξαθ' ἑορτὴν,
ἦθος ἔην στεθερὸν, κατ' Ἰουδαιητίδα φύτλην,
ἔφρ' ἀρχηγὸς ἄναξ ἀνδρῶν, πεπεδηκότα δεσμοῖς
ἀνδράσιν Ἑβραίοις ἀποπρυσάμενον προϊάπτῃ,
ὃν φυλακῆς ἐθέλουσ' ἔκτοσθ' ἔμεν, εἴπερ ἀνάγκη.
καὶ αὐτόθ' ἀνήρ τις ἔεργτο ἐν εἱρκτῇ ἠεροειδεῖ
ληΐδος ἰχανόων βροτομισέος, ὕβρει χαίρων,
ἀγχίθυροι μὲν ἐπώνυμον ἐκαλέοντο Βαραββᾶν,
ἰλαδὸν ἠγερόωντο δ' ἀμετρήτων νέφος ἀνδρῶν,
Ἰσακίδαο ὅσοι μὲν ἀφ' αἵματος ἐβλάστησαν,
τοῖσι Πιλάτος προσέφη δὴ ἐρευνητῆρσιν ἔπεσσιν,
δημοσίοις ἀγορῇσι, τίν' οὖν νήποινον ἐλάσσαι,
αὐτομάτοις ἐτλῆτε καὶ ὁμοφρονέεσσι μενοιναῖς:
Ἰησοῦν, ὃν Χριστὸν ἔμεν λέγον, ἠὲ Βαραββᾶν,
εὖ δεδαὼς, ὅτι βασκανίῃ παρέδωκαν ἄμεμπτον,
ζαβρὸν ἐλαυνητῆρσιν ἐνὶ φρεσὶν οἶστρον ἔχοντες,
κὰδ δ' ἐνὶ χρυσείῳ Πιλάτος ῥα κάθεζε θώκῳ,

τοῦ

τοῦ παρακοίτις εὔσφυρος, ἔνθεα τ' ἔργ' εἰδυῖα
κ' ἀμπνύουσιν Χριστῷ μεγαλήτορι μηνιόωσα,
ἐμμαπέως ἐπέτελλεν, ἀμώμητον, θεοειδῆ
δέσμιον, ἄνδιχα ποινῆς ἔμπαλιν οἴκαδ' ἱκέσθαι,
ὡς φαμένη: θεῖον γὰρ ὑπὸ κνέφος εἶδον ὄνειρον,
τῷ μευ ὀδυρομένη δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
εἵνεκ' ἀναιτίου ἀνδρὸς, τὸν παρέδωκεν Ἰούδας.

*Intercessio vxoris Pilati pro Christo.*

Τοῖς δ' ἐνὶ βωμοπόλοι, νομικῶν τ' ἀθεμίστιον ἔθνος,
λαὸν ἔπεισαν, ἀναρχολόχευτον Χριστὸν ὀλέσσαι,
ἐκ γὰρ Βαραββᾶς λοιγὸν ἰδ' αἰνὸν ὄλεθρον ἀμῦσαι
(αὐτ' ἀγαθοῦ ὀλοὸν) καὶ τοῖς πεπιθοίατο πάντες,
λαὸν δ' ἐξερέεινεν, ἐῇ διζήμονι φωνῇ
ἡγεμονεὺς, τίνι νῶν φωτῶν βούλεσθ' ἐπαρύγειν,
εὖτ' ἀνδρῶν ἀλάλητος ἀνὰ στρατὸν ὀξὺς ὀρώρει,
Βαρραβᾶς οἶος δ' ὁμάδησαν ἅπασι σεσώσθω,
οὕτω ἀλιτρὸς ἑλώδανε, Χριστὸς ἀπήχθετο πᾶσιν.

*Sacerdotes persuadēt populo salutem Barrabæ.*

Τοὺς ἀπομειβόμενος μεδέων ἀγὸς, αὐτίον ηὔδα:
ποῖον δ' Ἰησοῦ τέλος ἔσσετ' ἄθυρμα γενέσθαι,
ὑμέτερον, τὸν Χριστὸν ἐφημίξαντο προφήτην.
ἐξαῦθις τόνδ' ἴεσαν ἀσυφέλικτον αὐτήν:
ἐν τετρασκόλοπος ξυλίνοις σταυροῖο δαμάσθω.

*Populus petit Christum sibi crucifigi.*

Τοῖς ἠμείβετ' ἔπειτα Πιλάτος φώνησεν τε:
τίς τοῦδε πρῆξις; ποῖον κακὸν ἔργον ἔωργεν;
Ὣς ἔφαθ', οἱ γὰρ πλεῖστον ἐπίαχον, ἢ τὸ πάρος περ.
σταυρωθήτω, τῷ θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη, ἐπεὶ οἱ φρένες ἀτρεκὲς ἠερέθονται,
μή τις ὑπερβασίῃ πρὸς ὅρκια δηλήσηται
Καίσαρος. Αὐτὰρ ἐπεὶ μάχιμον τὸν λαὸν ἴδεσκε,
ἐσκληκὼς Πιλάτος θρονόθεν τάχα ὀρθὸς ἀνέστη,
ὕδατι καὶ χεῖρας σεόθεν φαιδρύνατο λευκῷ,
δήμου εἰσαΐοντος, τοῖς κ' ἐπέεσσι προσηύδα:
οὐκ ἐνὶ τόσσοις αὐτὸς ὑπαίτιός εἰμι κακοῖσιν,

*Pilatus lauat manus.*

ὔμμι γὰρ πάμβλαπτος καὶ κοινὸς ὄλεθρος ἐφῆπται.
Οἱ δ' ἐπικαγχλάζεσκον ἀμήχανον, ὦρτο τ' ἰωὴ
σμερδαλέη ἀνὰ δώματ' ἀϋσάντων ὑφ' Ἑβραίων·
τοῖο ῥοδόρροον αἷμ' ὑμῶν ἐπὶ παῖδας ἱκάνοι,
καὶ ὑμέτερον δέμας, αἰλινὰ πρηθῶμεν οἱ ἡμεῖς.

*Pilatus dimittit Barrabam.*

αὐτίκα τὸν δὲ λιλαιομένοισιν ὄπασε Βαραββᾶν
ἀνδράσι τολμηρὸν, Χριστὸν σμώδιγξιν ἱμάσθλης
οὐτάμενον γὰρ δυσηχέος, ἐν πρέμνοισι τανύσσαι
σταυροῦ ἀμειλίχου, ὥσπερ ἐτώσιον ἄχθος ἀρούρης.
ἡγεμονῆος ἄρα δμώων πρόστρατος ὄχλος,
Χριστὸν καρπαλίμως ὑπέδεκτο καὶ ἐς αἰπὺ μέλαθρον
ἦγε, συνηγείροντο ὅπου πλημμηλείδες ἀνδρῶν
ἄρρητοι πολέων, μαλακὸν τ' ἐκδῦνε χιτῶνα,

*Christus induitur veste Purpurea & corona spinea.*

ἀμφὶ γὰρ πορφυρέῃ χλαμύδι πρὸ χιτῶνος ἕεστο,
στέμμασιν ἀλλ' ἐκέκαστο κάρηνον ἀκανθοφόροισι,
δεξιτερῇ καλάμου παλάμῃ λίνον ἀμφιμεμαρπώς,
ἱκέσιον χθαμαλῇ γὰρ ἐρειδόμενον χθονὶ γαίῃ,
γυιοκόροισιν ὀνείδεσ' ὀνάσσατο φωλάδι γλώττῃ,
τῷ καὶ μυκτηρισμὸς ἅπασιν δῆλος ἐτύχθη,
ἄλλοτε καὶ τοῖον μανικὸν πρὸς μῦθον ἔειπεν·

*Sarcasmus Iudæorum.*

οὖλέ τε καὶ μέγα χαῖρε, Θεὸς σοὶ καὶ ὄλβια δοίη,
Ἀβραμιδῶν βασιλεῦ μακαριμόδοτερ, μονόσεπτε·
ἀλλότε καὶ ὑδροχαρῆ κάλαμον λάβον, ἠδὲ πάταξαν
οὐρανοδώρητον κάρα τ' ἦν ἐλεεινὸν ἰδέσθαι.
Ὡς δ' ἄρ' ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπηγύιων

*Christus educitur crucifigendus.*

πᾶσιν, ὀνειδίσσαι καὶ ἀεικέσ' ἔπεσσιν ἐλαύνειν,
ἔκβαλεν αὖτ' ἐσθῆτα διάβροχον ἰκμάδι κόλχου
φοινικέην, τ' ἰδίην χλαῖναν πάλιν ἕσσατο πυκνήν.
Δὴ τότ' ἀπήγαγον αὖ, σταυροπλόκος ὄφρα ταθείη,
γόμφοις ὀξυτέροισι πεπαρμένος ἀμφοτέρωθεν.
σὺν δ' ἐξίκετο λαὸς ἅπας μέγα θαῦμα θεᾶσθαι,
δὴ ῥ' αὐτοῖς ξύμβλητο κατὰ στίβον αἴσιμος ἀνήρ.

Σίμων

Σίμων εὐκτιμένης ἀστὸς ναιέτης τε Κυρήνης,
ὅς σφισιν ἠναίκαστο τετράζυγα δοῦρατ' ἐπ' ὤμοις
βαστάζειν (Θεὸς ἀλλ' ἀδδηκότι κοῦφισεν ἄχθος.)
Δηρὸν δ' οὐ μετέπειτ' ἐπὶ χωρίον εἰσαφίκοντο,
ἧχ' ἀδικῶν τάφος ἐκτέταται, κρανίοιο φυλακτὴρ,
δύσγευστον τε χολῆς πέρεν ἔνθα μεμιγμένον ὄξος,
ὡς δ' ἐπεγεύσατο, πινέμεν ἐν φρεσὶ θυμὸς ἔρυκε
εἵματ' ἀποφθιμένοιο διὰ κλῆσιν δ' ἐδάσαντο,
κλήρους τ' ἀμφιβάλοντο φιλοχλαίνῳ τινὶ λαχμῷ,
ὡς ζαθέου Δαβίδαο προθέσπισε μαντὶς ἀοιδή:

*Simon Cyrenæus portat Christo crucem.*

*Acetum cum felle mixtum potus Christi.*

*Milites diuidunt vestimentum Iesu.*

καδδὲ ὑπὲρ κεφαλῆς γράμμ' ἔγραφον, αἰτία πότμου:
οὗτος Ἰουδαίων βασιλεὺς πέλει ἀξιέραστος.
ἀλλὰ δύω ἅμα χεῖρε τανυσσάμενοι ἑκάτερθεν
λῃσταί, δαμαθήτην σταυροῦ φοβοπληρεῖ πότμῳ.

*Titulus seu inscriptio crucis Christi.*

οἳ δὲ παραθρώσκοντες ἐπήπυον, ἀργαλέῃσιν
κερτομίῃσι δακόντες ἀμωμήτοιο Θεοῖο
ἦτορ, ἐρισφαλερὸν καὶ κινήσαντο κάρηνον,
ὡς φάμενοι: σὺ δ', ἐπεύξαο λαϊνόμιτρον ἀμέρσαι
ῥιζόθι νηὸν, ἰδὲ πρότερον πάνυ κῦδος ὀπάσσαι.
εἰσόκε τρὶς μερόπεσσι φόως σέο Φοῖβος ἰάλλοι.
παντοίης ἀρετῆς μιμνήσκεο, καὶ σὲ σαώσαι,
εἰ τέκος ἐσσὶ Θεοῦ μόνιμον, χαριτώνυμος υἱεὺς,
πατρῷον σὺν κάρτος ἐνὶ πραπίδεσσι δέδεξο.
τηλόθ' ἀπορρίψας ἀδινὸν βάρος, ὅ,τι μὲν ἔτλης
νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
κύριος ὑψιμέδων, ὃς μὴ τλήσαιτο πιφάσθαι,
ὃν τέκος αἰθερόπεμπτον, ὑπαὶ κ' ἄνδρεσσι δαμῆναι.

*Christus illuditur à Sacerdotibus, pendens adhuc in Cruce.*

Ἀρχιερῆες ἔπειτα θεήμαχοι, οἵ τε μέδοντες,
καὶ νομικοί τε γεραίτεροι ἦσαν, ἐν ὀιστράδι δήμῳ,
ῥοῖζον ἐρευγόμενοι φιλοκέρτομον ἐξονόταζον,
Χριστὸν, τοῖα λαλῶντες ἑῷ λωβήτορι λαιμῷ:
Ἤμβροτες, ἐκ θανάτοιο σαώσας πολλάκις ἄλλους,

Ἄλλων ἰητρὸς, αὐτὸς ἕλκεσι φρύει.

σαυτὸν δ' οὐ σθένες ἰᾶσαι θανατόνδε κιόντα
πάντεσσι καὶ ζώοισιν ἀκέσματα πήμασι θέσθαι·
εἰ Θεοῦ ἐκγεγαὼς, ἡμᾶς ποτὶ δεῦρο παρέλθῃς
σταυρόθεν, αἴκεν ἔφησθα· Θεοῦ τελέθω μόνος υἱός
κάββαλες ἐς Θεὸν ἀκλινῆ πολυθαρσέα πειθὼ
ὅς σοι θυμοβόροιο πολύστονα κέντρα μερίμνης
μαλθάσσῃ, εἰ θυμὸς ἐνὶ φρεσὶν εὔαδ' ἀρωγός.
ὣς καὶ λῃϊστῆρε μιαιφόνω ἀχνύμενοί περ,

*Tenebræ ſuper vniuerſã terram ab hora ſextà vſq; ad nonam.*

μὶν λωβευέσθην πρὶν μόρσιμον ἦμαρ ἱκέσθαι·
ἄμφαδ' ἐς ἀλλήλους. ἐκ τῆς δ' ἀπὸ κυκλάδος ὥρης,
γαῖαν ἐπεχλαίνωσε μελακρήδεμνος ὁμίχλη,
ἠελίου φάος ὡσεὶ βουλυτόνδ' ἀφίκοιτο,
εἰνάτης μεταναίεσθ' ἕως δρόμος ἄστατος ὥρης.
Ἰησοῦς ὄπα δὴ μεγάλην ἐκ στήθεος ἵει·

*Chriſtus queritur ſe derelictum à patre.*

τίπτε πάτερ με λέλοιπας ἐγερσοδυνίαις ἐν ἀνίαις;
τίπτ' οὐκ ἔσθ' ὃς ἐμῆς ὕβριν κεφαλῆς ἀπαλάλκοι
ἀλλὰ παρεστάμενος φωνὴν συνόεσσαν ἀκούσας,
λαὸς ἐπιπροκαλεῖν θεσβιτίδος ἀστὺν ἀρούρης

*Iudæi putant Chriſtum vocare Eliam.*

ἠλίαν ἐπαρωγὸν ὀΐσατο· καί ὦκα τις ἄλλος
δρηστήρων παλάμῃσιν ἑλὼν σπόγγον πλέον ὄξους
ὤρεγ' ἀνὰ στόμα πινέμεν, ἱππότε θυμὸς ἀνώγοι.
ἄλλοι δ' εἴπεσκον δεῦτ' εἰσορόωμεν ἂν ἔλθοι
Ἠλίας θεόγλωσσος, ἀεικέα λοιγὸν ἀμῦναι.

*Mors Chriſti.*

Υστάτιον Χριστὸς βρεμέεσκ' ἐπὶ μακρὸν ἀΰσας,
χ' ὡς ξύμπαντ' ἐτελείατο, τοῦ κεφαλὴ θεοειδὴς,
ἤριπε γ' ἐξοπίσω, ἀπὸ δ' ἣ ψυχὴν ἐκάπυσσε.

*Velũ templi ſcinditur.*

Δὴ θεοχανδέος εὐπήκτου νηοῖο πέτασμα,
ἐσχίσθη προθελυμνὸν ἐς ὕψεος ἄκρον ἀπ' αἴης,
χθὼν καὶ κινυμένη δεδόνητ' ἐνοσίχθονι ῥιπῇ,
ὀρνυμένη ποταμοὺς, ὀρέων τ' αἰπεινὰ κάρηνα,

*Petræ diſſiliunt.*

πέτραι καὶ ἐάγηθεν ἐρημάδες, ἠλίβατοί περ,

*Corpora*

σήματα καὶ νεκύων ἀνέῳχθεν, οἳ δ' ὕπνον ἔχοντες,

νήχετον

νήχετον ἐνδομύχοις δνοφερῆς ὑπὸ κεύθεσι γαίης.
αὖθις ἀνεζήσαντο ὑποχθονίων ἀπὸ λέκτρων,
καὶ εἰς Σολύμων ἱερῶν πόλιν αἰπυθέμεθλον ἰόντες
ἐνναέτης πολέεσσιν ὁμέστιοι ἐξεφάανθεν

*Sanctorũ resurgũt.*

Ἀλλὰ φυλακτῆρες δέμας οἷς Χριστοῦ μεμόλητο
ἠδ᾽ ἑκατόνταρχος σεισίχθονα σπασμὸν ἰδόντες,
ὅσσα καὶ ἔγεντο τεράατα σιγαλόεντ᾽, ἀλίαστον
θάμβεον, ἠδὲ κατηφέες ἤειροντ᾽ ἀνὰ θυμὸν,
τοῖς τε παραιφαμένοισι κατάρατον ἔργον ὄλοντο:
ἠράμεθα μέγα κῦδος ἐπέφνομεν ἄνδρα θεουδῆ
ἀτρεκέως βαρὺ πῆμα κυλίνδεται βαιὸν ἄπωθεν.

*Custodes & Centurio viso terræ motu mouentur.*

Ἔνθα καὶ εὐπέπλων ὄχλος ἵστατο θηλυτεράων,
αἱ Γαλιλαίηθεν λυτρωσιαλιτρὸν ἕποντο
Χριστὸν, ὑφαίνουσαι δρηστήριον ἄλλυδις ἔργον,
τῆς ἐνὶ Μαγδαλινὴ Μαρίη, Μαρίη τ᾽ Ἰακώβου,
μήτηρ τ᾽ Ἰωσῆ, μήτηρ θ᾽ υἱῶν Ζεβεδαίου,
πρῶτα λάχον, καὶ ἐσαριθμέαται μέγ᾽ ὑπερμεδεούσαις.

*Mulieres quædam vicẽ Christi dolent.*

Ἥλιος αὐτὰρ ἐπεὶ ἵπποισι σὺν, ὠκεανόνδε
δῦνε βαθυῤῥείταο ῥοὰς πολυβενθέας ἅλμης.
δὴ τότ᾽ Ἰώσηπος, θεοπειθεί θαρσυνός ἀλκῇ,
αἰσιμοεργὸς ἀνὴρ, Χριστοῦ σύνδουλος ἑταίρων,
σοῖς ἐναρίχριστον Πιλάτον γ᾽ ἐπέεσσι προσηύδα,
λυσόμενος δέμας ἁγνὸν ἰδ᾽ ἐνθεόδωρον Ἰησοῦ.
ἡγεμονεὺς πινυτὸν Πιλάτος τὸν μῦθον ἀκούσας,
κέκλετ᾽ ὑποδρηστῆρσιν ἑοῖς τόδε σῶμ᾽ ὀρέγεσθαι,
νεκρὸν ἄθαπτον, ὅπως χθονίῃ κρύψαιτο χαμεύνῃ.
τοῦτο λαβὼν, μεμαώς τε νέκυ ὥπερ ἐόντα σαῶσαι,
σεῦ ὀθόναις νεκυοπρέπεσιν μιτρώσατο καὶ ἔμπης
κάτθετο σὸν νεότευκτον ἐνὶ μνημεῖον ἀγητὸν,
ὅττι πάροιθε λιθοξόος ἐν πολυρωγάδι πέτρῃ
παρσκεύασκεν, ἑὸν μονιμὸν μνημεῖον ἔσεσθαι.
ὡς ὁ μὲν ἀμφίεπεν τάφον ἀνέρος οἰτοδάμοιο.

*Ioseph ab Arimathæa sepelit corpus Christi honorificè.*

ἀλλ᾽

ἀλλ' ἐφύπερθε θύρης, λίθον ὀμβριμόφορτον ἔλιοσεν,
*Luctus mulierũ.* πολλὰ κινυρομένη μήτηρ δ' ἐπαύτε τύμβῳ,
σὺν θ' ἅμα Μαγδαλινὴ Μαρίη φρεσὶν ἀσχαλόωσα
ἀπετὸν, ὡς φρένες ἦσαν ἐναίσιμοι, ἠδὲ νόημα.
Ἀλλ' ἑτέρην ὅτε φοῖβος ἐπήγαγον εὔθρονος ἠῶ,
δὴ φρεσὶ Χριστοῦ μύθων ἐμνώοντο θανόντος,
*Sacerdotes admonent Pilatum de custodiendo sepulchro Christi.* Ἀρχιερῆς τε Φαρισαίων κακοεργὸς ἀπορρὼξ,
καὶ εἰς ἓν ἀγρόμενοι, πρὸς δῶμα κίον Πιλάτοιο,
καί μιν μειλιχίοις προσφώνεεν ὧδ' ἐπέεσσι:
κύριε, σχέτλιος ὑβριστὴς καὶ ἀπατήλια εἰδὼς,
ἐν σταυρῷ μελέεσσι ζαθεὶς, φάτο τοῖα πάροσπερ:
ἀνστήσω πάλιν ἐκ θανάτοιο τριημερονύκτου.
εὐκόσμως τοίνυν φυλάκεσσι θοοῖσι κέλευε,
εὐφρουρεῖν τάφον, ἀμβολίη νῦν μηδέ τις ἔστω,
ἦμαρ ἐπὶ τρίτατον, μή πως αὐτοῖο μαθηταὶ,
χριστοβόαι κήρυκες, ἀποκρύβδην ἀφελόντες,
ἀμφαδὸν ἐξείπωσιν, ἐγέρσιμον ὕπνον ἰαύων
Χριστὸς ἔαξε μόρου λίνα κοίρανος ἠριονάστης.
ἐσχατίη ἀπάτη ἐλεεινοτάτη ῥα πέλοιτο.
τοῖς δ' αὖθις Πιλάτος ὁ παραβλήδην προσέειπε:
δέξατ' ἀμωμήτους πυλαωροὺς, ἄπνοον ἄχθος
οἷς μελέτω. τρεχέμεν δ' ὑμῶν χρέος ὄφρα τάχιστα
ἀγρύπνοισι φυλαχθείη φυλακοῖσι, τελοιᾶς
ὡς σφρηγισθείη στιβαρώτατος, εἰ θέμις ἐστί.
Πρωῒ δ' ἐπεὶ τετέλεστο τὸ Σάββατον ἀζαγίαστον,
*Studium & amor mulierum* δὴ τότε Μαγδαλινὴ Μαρίη, Μαρίη τε καὶ ἄλλη,
πρὸς τάφον ἱροδόχον ταχινῷ φοιτῶντο πεδίλῳ,
καὶ μέγας αἶαν ἐπεὶ πλατυώτον σεισμὸς ἔγεντο,
*Angelus Domini in sepulchro* Ἄγγελος ὡς θεόπεμπτος ἀελλόπος ἔμπεσε γαίῃ,
οὐρανόθεν καταβὰς, θεοχανδέα καὶ τάφον ὦγε,
βληχρὸν ἀπορρίψας λίθον, ἔνδοθι γὰρ μόνος ἦστο
ἔκποθεν δ' ἄρ' ἔσω φλογοειδὴς εἰσοράασθαι.

ἤυτε

ἠΰτε μαρμαρυγὴ στεροπῆς πυρόεσσα κιχούσης,
ἀμφὶ δ᾽ ἄρ᾽ ἀργυφέοις λευκάχροος εἵμασι καθεὶς,
οἷά τε χειμέριαι νιφάδες, δακέθυμον ὄρινε
αὐτὰρ ὀπωπητῆρσι γόον, τε πολύστονον ἄλγος,
ὡς αὐτοῖς ὄφελεν θανέειν, καὶ πότμον ἐνισπεῖν.
Τυτθὸν φθεγξάμενος φάτο δ᾽ εὔπτερος ἀγγελιώτης:
θάρσος ἀέξετ᾽ ἐνὶ φρεσὶν ἠὺ γυναῖκες ἀγαυαί,
οὐδὲ γὰρ ὔμμιν ἐγὼ, κακὸν ὀσσόμενος τόδ᾽ ἱκάνω,
ἀλλ᾽ ἀγαθὰ φρονέων, τε Θεοῦ κράτους ἄγγελός εἰμι,
ἡμέτερον νόον οἶδα, βροτοσσόος αὖθις ἀνέστη
ἥρως, καὶ μερόπεσσι δύης ἄκος, ὃν τὸ παρόπερ,
ἔκτανον Ἑβραῖοι καὶ σταυρώσαντο κακοεργοί,
μὴ γὰρ ζητέον αὐτόθι, ἀπέρχετε θῶκον ἰδέσθε,
τοῦ πρὶν ἔκειτο μόροιο δεδμημένος ἠδ᾽ ἐί δεσμῷ,
ἀλλ᾽ ὑμῖν λαιψηρὰ πόδας καὶ γοῦνατα νωμᾶν,
ἔξοχ᾽ ἔοικε, μαθηταῖς ὡς συνάπασι γένοιτο
ἔκδηλος, Χριστοῦ νίκη, γαῦρος τε θρίαμβος,
ὅππως νῦν θανάτοιο μέγαν κίνδυνον ἀλύξας,
ἐχθρῶν ἐχθοδοποὺς στιβαρῶν ἐδάμασσε φάλαγγας,
αὐτὸς δ᾽ ἔσσεται ὔμμιν, ἐὺς προποδηγὸς Ἰησοῦς,
εἰσόκ᾽ ἀεξίφυτον Γαλιλαῖον ἐς οὖθαρ ἵκεσθε,
ἤτοι ἐκεῖ ὄψεσθέ μιν ἀτρεκὲς, ὡς ἀγορεύω.

*Consolatur mulieres angelos metu perculsos*

*Angelus ablegat mulieres ad discipulos Christi in Galilæam.*

Ὣς ἄρ᾽ ἔφη, ταὶ δ᾽ αἶψ᾽ ἀπὸ σήματος ἐγκονέουσαι
ἤϊσαν, ἀλλὰ φρένας τάων χλωρὸν δέος ἧρει
γηθοσύνῃσι μεμιγμένον, ὥστε δὲ Χριστοῦ μαθηταῖς
χάρματα κηρύξειαν ἀρωγῆς ἐκχατέουσιν.

*Mulieres obsequuntur angeli mandato.*

Τῇς δ᾽ φανὴ ξυμβλήμενος ἐνθάδε Χριστὸς ἐπελθὼν,
ὃς σφέας φωνήσας ἀδινῷ προσπτύξατο μύθῳ:
χαίρετε δηρὸν εὔπεπλοι, κεδναί τε γυναῖκες,
αἱ μὲν ἄρ᾽ ἀμφεχέοντο, καὶ ἠσπάζοντο μιν αὖθις,
ἠδ᾽ ἀγαπαζόμεναι κυύζον, χεῖράς τε πόδας τε,
τοὔνομα καὶ κίκλησκον ὁμοφθόγγῳ τινὶ λαιμῷ,

*Christus obuiã venit mulieribus.*

Ταῖς Χριστὸς δ' ἐπέεσσι παρηγορέων προσέειπε
μειλιχίοις, θάρσει κέαρ ὑμέων ἔνδοθι θυμοῦ,
ἀλλ' ἄγ' ἴεσθε τάχιστα πρὸς ἐνδεκάριθμον ὅμιλον,
τηλεδαπῆς πέδιον, καὶ ἄνωχθ' ἴμεν εἰς Γαλιλαίης,
ἔνθα μ' ἐσαθρήσουσ' ἐξαμφαδὰ σῶον ἐόντα.

*Custodes pecunia corrupti occultant resurrectionem Christi.*

Ὣς φάτο, ταὶ δ' ἔβαν ἐξαπίνης, θεὸς ὡς ἐπέτελλεν·
κὰδ δ' ἄρα φυλακτῆρες κατ' ἄστυ πεφυζότες ἱρὸν,
νηοπόλοισι κίον δολεροῖσι τάδ' ἀγγελέοντες,
ὅσσ' ἐγένοντο σφι, πασιμέδοντος ὑφ' υἱεῖ Χριστῷ,
δὴ θ' ἀγάσαντο παρ' ἀλλήλοισιν θέσκελον ἔργον,
πρεσβύτεροι, τε γραφημαθέων συναγείρετο φωτῶν
πλῆθος, ἀτάσθαλα πήματα σῇς φρεσὶ μαχανόωντες.
τοὔνεκα πεζοῖκ' ἔδοσαν κειμήλια πουλυτέλαντα,
χρυσοῦ τ' ἀργυρέου φυλάκεσσιν, ἀναιδέϊ δήμῳ
εἰπέμεναι· μιν κρύβδ' ἀφέλοντ' ἐνὶ νυκτὸς ἀμολγῷ,
ἄνδρες ἀπωρόφιοι, ὅτ' ἐπ' ὄμματα νήχετος ὕπνος
γρηγορέῃσιν ἀπ' ἦματ' ἐπήλυθε κεκμηώτων,
οἱ δὲ φρενοστρεπτοῦ πεπληγότες ἅμματι λύσσης,
δῶρα λάβον, καὶ μυστιπόλων κρήηνον ἐέλδωρ.

*Christus manifestat se discipulis.*

Καὶ φήμη πωτᾶτο θυελλόπος, ἀμπλάκα γαίης
πᾶσαν Ἰουδαίης, μέχρι ἤματος ἀρτικελεύθου,
ἐνδεκάριθμος ἄρα στρατὸς, ἄσπετον εἶχε πορείην,
σύσσυτος, εἰσανάβας ὄρος αἰπεινὸν Γαλιλαίης,
ὅττι πάρος σφιν ἔδεικτ' ἀταλῆς ἀπὸ θηλυτέρῃσιν,
κύριον ὡς ἴδεν, ἰθὺς, ἀνέπλατο χάρματι θυμὸς,
καί μιν ἐπευχωλῇσι πολυφλεγέεσσι γέραιρεν,
ἄλλοι διχθάδια φρενὶ μερμήριξαν ἄπιστοι.

*Potentia Christi.*

Χριστὸς δ' ἀλλὰ κεκασμένος ἠγορέῃσιν ἀήτεω
μέλψεν ἀπ' ἀνθερεῶνος ἐρασιπόθητον ἰωήν·
μοὶ ξύμπαντα δεδμήαται, κόσμος ὅσ' ἐντὸς ἐέργει,
ὅσσ' ἕδος ὑψόροφον, χάδεν ἀστροχίτωνος ὀλύμπου.
ἀλλ' ἄρ' ἐμοί γε πύθεσθ' ἐς ἀπείρονα γαῖαν ἰόντες,

πᾶσι βροτοῖσιν ἐπαγγελίοιο θεόῤῥυτον ἦχον.
κλάγξατε, βαπτισμοῦ ζωοσταγέεσσι ῥοῇσιν,
νιψάμενοι, καὶ ἀγαιομένοις δηλώσατε φύτλης.
ὅσσα διδασκαλίης δωρήματα πυκνὰ λάβοιτε,
ὔμμιν ἐγὼ δ' ἔσσομαι συνομέστιος, ἠ συνάεθλος.
εἰσόκε λοίσθιον αὖθι φανεῖ κοσμοῤῥαγὲς ἦμαρ.

*Christus mittit discipulos suos in mūdum ad prædicādū Euāgeliū.*

ΕΙΡΗΚΑ.

AB 113 723

ULB Halle 3
002 387 581

TA→a

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215887-p0031-1

Luno et p[ro]phem-

gratur uerti inde

...sū uestem eum.

...turbas. offer-

tor. Letamini.

...ferunt que p[ro]p[ter]

...ta sunt honore

...salutaria te

...nt. Per. Secr.

...e b[ea]ti cesarij mar-

...s meritis benig-

sanctitas tuus non recusat ac-
cepta. et nobis sacramentū redep-
cionis efficiat. P. co. Posuerunt mo.

O celestib[us] refecti sacramē[n]- copl.
tis et gaudiis supplices te d[omi]ne
deprecamur: ut quorum gl[or]iamur
triumphis protegamur auxiliis. P.

Theodori m[a]r[tyris]. Gloria et honore.

Deus qui nos b[ea]ti theo- col.
dori m[arty]ris tui confessione glo-
riosa circu[m]das et protegis: p[re]sta
nobis eius imitacione proficere
et oracione fulciri. P. epl. Stetit
multitas. gra. Beatus uir. Ewn.

# PARAPHRASIS GRAECA

# HISTORIAE DE PASSIONE DOMINI ET SALVATORIS NOSTRI Iesu Christi secundum Matthæum,

*Heroico metro exposita*

*A*

MARTINO ENGELBRECHT Vuernigerodensi, veteris Collegij Ilfeldensis alumno.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215887-p0033-3